**ἀντισπαστικὸν (-ὸς) δίμετρον (-ος) ἀκατάληκτον (-ος) / antispasticum dimetrum acatalectum**

**1.** Arist. Qvint. *de mus.* I 26 (p. 49. 20 sqq. Winnington-Ingram) τὸ δὲ ἀντισπαστικὸν μετρεῖται μὲν τῷ ὁμωνύμῳ ποδί, πολλάκις δὲ τὸν πρότερον δισύλλαβον καὶ εἰς τοὺς ἄλλους δισυλλάβους μεταβάλλει (εὐπρεπέστερον μὲν ἡνίκα εἰς σπονδεῖον, σπανίως δὲ εἰς τοὺς λοιπούς)· καὶ ἀρξάμενον ἀπὸ διμέτρου πρόεισιν ἄχρι τετραμέτρου.

Schol. in Aesch. *Eum.* 244 (I, p. 91. 1 sqq. Smith) + τὰ δὲ κῶλα ἀντισπαστικὰ ιδ´ ἡμιόλια καὶ πενθημιμερῆ καὶ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά.

Schol. in Aesch. *Eum.* 808 (I, p. 92. 11 sqq. Smith) + ᾠδὴ χοροῦ ἐπῳδικὴ διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι. ἔχει δὲ τοὺς πρώτους μὲν γ´ στίχους ἰαμβικοὺς τριμέτρους ἀκαταλήκτους, τὰ δὲ ἑξῆς κῶλά εἰσιν ἀντισπαστικὰ πενθημιμερῆ καὶ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα καὶ τρίμετρα ιγ´.

Schol. in Aesch. *sept.* 720-791 (II 2, p. 313. 17 sqq. Smith) οὗτος ὁ χορὸς συνέστηκεν ἐκ κώλων οβ´, ὧν τὰ πρῶτα ιδ´ ἀναπαιστικά ... τὰ δὲ ἑξῆς πάντα χοριαμβικὰ καὶ ἀντισπαστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ καὶ ἡμιόλια καὶ τρίμετρα βραχυκατάληκτα.

Diom. GL I 505. 13 sqq. antispasticum metrum conponitur antispasto, admittit autem et iambicam basin per synpathian. et prima quidem regio primae gressionis antispasticae magnitudinis omni genere a poetis movetur. longiatur autem a dimetro usque pentametrum.

⏑⏑/× ⏑⏑/× ⏕ ⏑ ⏑⏑/× ⏕ ⏑⏑/⏑ ⏓

**2.** Hephaest. 3. 18 sq. ἐν δὲ ἀντισπαστικῷ (*scil.* διμέτρῳ ἀκαταλήκτῳ) Ἀνακρέοντος· (fr. 3 [PMG 348]. 4 Page)

ἤ κου νῦν ἐπὶ Ληθαίου.

Hephaest. 32. 13 sqq. δίμετρον δὲ (*scil.* ἀντισπαστικόν) ἀκατάληκτον τὸ καλούμενον γλυκώνειον, αὐτοῦ Γλύκωνος εὑρόντος αὐτό· (mel. adesp. 111 [PMG 1029] Page)

κάπρος ἡνίχ᾽ ὁ μαινόλης
ὀδόντι σκυλακοκτόνῳ
Κύπριδος θάλος ὤλεσεν.

Tzetz. *de metr. Pind.* 28. 20 sqq.

τὸ πρῶτον ἀντισπαστικόν, ἀλλ᾽ ἀκατάληκτον τε,
καὶ δίμετρον γλυκώνειον τοῖς ῥυθμικοῖς καλεῖται
αὐτοῦ εὑρόντος Γλύκωνος τὸ μέτρον τὸ τοιόνδε.

Tzetz. *de metr. Pind.* 44. 20 sqq.

τὸ τρίτον ἀντισπαστικόν, ἀλλ᾽ ἀκατάληκτόν τι,
καὶ δίμετρον ὑπάρχει δέ· ἀλλ᾽ ὅρα τὸν πρῶτον πόδα
μεγίστην τὴν διαφορὰν ἔχοντα πρὸς τὸν ἄλλον.

παραδιδοῦσιν οἱ σοφοί, ὡς ποτὲ μεταβάλλει
ὁ πρῶτος ποὺς εἰς τρίβραχυν τῆς μακρᾶς λελυμένης.

Tzetz. *de metr. Pind.* 97. 4 sqq.

τὸ ὄγδοον γλυκώνειον, ἐλέγομεν δὲ τοῦτο
δίμετρον ἀντισπαστικὸν καὶ ἀκατάληκτόν τι.
ἔστι δ᾽ ἐνταῦθ᾽ ἀντίσπαστος· ἴαμβοι μετὰ ταῦτα.
οἰκεῖος γὰρ ὁ ἴαμβος τῷ ἀντισπάστῳ πέλει.

Tzetz. *de metr. Pind.* 119. 21 sqq.

τὸ τεσσαρισκαιδέκατον γλυκώνειον ὑπάρχει.
ἔστι δὲ ἀκατάληκτον δίμετρον ἀντισπάστοις.
ἐνταῦθα δὲ καὶ ἴαμβοι ἀναμὶξ ἀντισπάστοις.

Plan. in Boethii *de cons.* 76 (p. 105 Papathomopoulos) τὸ ἕκτον εἶδος ἀντισπαστικόν ἐστιν ἀναμεμιγμένον ἰαμβικῇ συζυγίᾳ δίμετρον ἀκατάληκτον, ὃ καλεῖται γλυκώνειον· περὶ δὲ τοῦ ἀντισπάστου προεγράφη ἐν τῷ τετάρτῳ (*scil.* εἴδει), ἐχρήσατο δὲ (*scil.* ὁ Βοηθός) τούτῳ πεντάκις, ἐνταῦθά τε καὶ ἐν τῷ ʻὅττ᾽ οὖν κόσμος ἐν ἀσφαλεῖ᾽ καὶ ἐν τῷ ʻεὐδαίμων ὁ λαβὼν σθένος᾽ καὶ ἐν τῷ ʻνῆα Νηρικίου ταγοῦ᾽, καὶ ἔτι ἐν τῷ ʻἤνεγκεν πάλαι ἡ Στοά᾽, πλὴν ὅτι ἐν τῷ ʻνῆα Νηρικίου ταγοῦ᾽ τὸν ἀντίσπαστον οὐκ ἀπὸ σπονδείου καὶ τροχαίου, ὥσπερ ὅτε ταῖς ἰαμβικαῖς συζυγίαις ἀναμίγνυται, ἐποίησεν, ἀλλὰ ἀπὸ δύο τροχαίων.

Plan. in Boethii *de cons.* 160 (p. 113 Papathomopoulos) τὸ παρὸν εἶδος ἀντισπαστικόν ἐστι δίμετρον ἀκατάληκτον, τὸ αὐτὸ ὂν τῷ ἕκτῳ (*scil.* εἴδει).

Plan. in Boethii *de cons.* 169 (p. 114 Papathomopoulos) τὸ παρὸν εἶδος ἀντισπαστικόν ἐστι δίμετρον ἀκατάληκτον, ὃ καλεῖται γλυκώνείον, περὶ οὗ εἴρηται ἐν τῷ ἕκτῳ (*scil.* εἴδει).

Plan. in Boethii *de cons.* 201 (p. 116 Papathomopoulos) τὸ παρὸν εἶδός ἐστιν ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται γλυκώνειον, τὸ αὐτὸ ὂν τῷ ἕκτῳ (*scil.* εἴδει).

Anon. Harl. 23. 21 sqq. ταῦτα παραδείγματα τούτου (*scil.* τοῦ ἀντισπαστικοῦ μέτρου)· δίμετρον ἀκατάληκτον γλυκώνειον· (Pind. *Ol.* 1. 1)

ἄριστον μὲν ὕδωρ ὁ δὲ.

Anon. Vat. 21 (Pind. *Ol.* 1. 1)

⏑ – – ⏑ . ⏑ – . ⏑ ⏓ .
ἄριστον μὲν ὕδωρ ὁ δὲ.

δίμετρον (*scil.* ἀντισπαστικόν) ἀκατάληκτον γλυκώνειον, ὅταν ὁ πρῶτος ἀντίσπαστος καὶ συζυγία ἰαμβική. (Pind. *Ol.* 2. 2)

⏑ ⏑ – ⏑ . ⏑ ⏑ – . ⏑ – .
τίνα δ᾽ ἄνδρα κελαδήσομεν

ὅμοιον. (Pind. *Ol.* 9. 3)

⏕ ⏓ – ⏑ . ⏑ – . ⏑ – .
ἄρκεσεν κρόνιον παρ᾽ ὀ-

ὅμοιον. (Pind. *Ol.* 9. 4)

⏓ – – ⏑ . ⏑ – . ⏑ – .
κωμάζονται φίλοις ἐφαρ-

ὅμοιον. (Pind. *Ol.* 9. 5)

⏓ ⏒ – ⏑ . ⏑ – . ⏑ – .
ἀλλὰ νῦν ἑκατοβόλων

ὅμοιον. (Pind. *Ol.* 9. 7)

⏑ – – ⏑ . ⏑ – . ⏑ – .
ἀκρωτήριον ἅλιδος

ὅμοιον. (Pind. *Ol.* 10. 6)

⏑ – – ⏑ . ⏒ – . ⏑ – .
ἐνιπὰν ἀλιτὸν ξένον

ὅμοιον. (Pind. *Ol.* 14. 22)

⏑ – – ⏑ . ⏑ – . ⏑ – .
ὃν εἴπης ὅτι οἱ νέαν

ὅμοιον. (Pind. *Ol.* 10. 27)

⏑ – ⏒⏒ ⏑ . ⏑ – . ⏑ ⏒ .
πένφε κτέατον ἀμύμονα

ὅμοιον.

Epit. Hephaest. 360. 30 sq. καὶ ὅρα τὸ δίμετρον ἀντισπαστικὸν (*scil.* ἀκατάληκτον) τοῦτο δέ· (mel. adesp. 111 [PMG 1029]. 1 Page)

κάπρος γ᾽ ἠνίχ᾽ ὁ μαινόλης.

Schol. vet. in Pind. *Ol.* 1 (p. 1. 4 Tessier) τὸ α΄ γλυκώνειον, ὃ καὶ ἀντισπαστικόν (*scil.* δίμετρον ἀκατάληκτον).

Schol. vet. in Pind. Ol. 2 (p. 2. 13 sq. Tessier) τὸ γʹ ἀντισπαστικὸν ἀπ᾽ ἀδιαφόρου τοῦ πρώτου ποδὸς δίμετρον ἀκατάληκτον ἰαμβικῇ κατακλειόμενον.

Schol. rec. in Pind. *Ol.* 1 (p. 45. 12 sqq. Abel) τὸ αʹ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καὶ ἀπὸ Γλύκωνος τοῦ εὑρόντος αὐτὸ γλυκώνειον καλεῖται.

Schol. rec. in Pind. *Ol.* 2 (p. 104. 13 sqq. Abel) τὸ γʹ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, πλὴν ὁ αʹ ἀντίσπαστος διαλύεται εἰς βʹ βραχείας καὶ μακρὰν αʹ, καὶ ἡ κατακλεὶς ἰαμβική. ἐμοὶ δὲ δοκεῖ ὡς ἰωνικόν ἐστι δίμετρον ἀκατάληκτον τῆς αʹ μακρᾶς τοῦ ἰωνικοῦ διαλυθείσης εἰς βʹ βραχείας, τοῦ δὲ βʹ ποδὸς παίωνος ὄντος βʹ ἀντὶ ἰωνικοῦ, ἔν τισι δὲ καὶ διιάμβου διὰ τὴν ἀδιάφορον.

Schol. rec. in Pind. *Ol.* 9 (p. 310. 13 sqq. Abel) τὸ δ΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται γλυκώνειον, ἐκ διτροχαίου ἢ ἐπιτρίτου … τὸ ςʹ ὅμοιον τῷ δʹ … τὸ ηʹ ὅμοιον τῷ δʹ καὶ ςʹ … τὸ ιβʹ ὅμοιον τῷ δʹ.

Schol. rec. in Pind. *Ol.* 10 (p. 343. 3 sqq. Abel) τὸ ηʹ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται γλυκώνειον. διέλυσε δὲ τὸν ἀντίσπαστον εἰς τὸ (v. 27) ʻπέφνε Κτέατον ἀμύμονα᾽, ποιήσας τὸ κῶλον ἐννεασύλλαβον.

Schol. rec. in Pind. *Ol.* 14 (p. 422. 19 sqq. Abel) τὸ ιδ΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον γλυκώνειον ἐξ ἀντισπαστικῆς καὶ ἰαμβικῆς συζυγίας.

Schol. rec. in Pind. *Pyth.* 2 (p. 458. 3 sq. Abel = p. 168. 4 sq. Irigoin) τὸ ς΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ ἰαμβικῆς συζυγίας.

Schol. rec. in Pind. *Pyth.* 5 (p. 171. 18 sqq. Irigoin) τὸ ζ΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ ἰαμβικῆς συζυγίας, ἢ παιῶνος δευτέρου.

Schol. rec. in Pind. *Pyth.* 8 (p. 173. 10 sqq. Irigoin) τὸ α΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου πεντασυλλάβου διαλελυμένου καὶ ἰαμ-

βικῆς συζυγίας· εἰ δὲ βούλει, παιωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παιῶνος τετάρτου καὶ τρίτου καὶ συλλαβῆς.

Schol. rec. in Pind. *Pyth.* 8 (p. 173. 36 sq. Irigoin) τὸ η´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον γλυκώνειον ἐξ ἀντισπάστου καὶ ἰαμβικῆς συζυγίας.

Schol. in Aesch. *Ag.* 1090 (I, p. 86. 15 sqq. Smith) + ἑτέρα στροφὴ ἔχουσα κῶλα γ′, ὧν τὸ α′ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, τὸ β′ δίμετρον ἀκατάληκτον· ἔχουσι δὲ πεντασυλλάβους πόδας.

Schol. in Aesch. *Pers.* 268 (p. 43. 20 sq. Massa Positano) + τὸ β′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου πεντασυλλάβου καὶ διιάμβου.

Schol. in Aesch. *Pers.* 268 (p. 158 Massa Positano) + τὸ β′ καὶ γ′ δίμετρα (*scil.* ἀντισπαστικά) ἀκατάληκτα.

Schol. in Aesch. *Pers.* 274 (p. 43. 30 sq. Massa Positano) + ἔχει δὲ τὸ β′ κῶλον (*scil.* τὸ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον) τὸν μὲν πρῶτον πόδα ἑξασύλλαβον, τὸν δὲ β′ πεντασύλλαβον.

Schol. in Aesch. *Pers.* 633 (p. 54. 23 sq. Massa Positano) + τὸ δ′ καὶ ε′ ἀντισπαστικὰ δίμετρα ἀκατάληκτα, ἐξ ἀντισπάστων καὶ διιάμβων.

Schol. in Aesch. *Prom.* 561 (p. 45 Smyth) τὸ κβ^τερον^ ἀντισπαστικὸν γλυκώνειον δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου διὰ τὴν ἀδίαφορον.

Schol. in Aesch. *Prom.* 593 (p. 48 Smyth) τὸ ζ´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον γλυκώνειον, ἐξ ἀντισπάστου καὶ διιάμβου διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 78-150b (II 2, p. 49. 38 sq. Smith) + τὸ κθ′ ὅμοιον δίμετρον (*scil.* ἀντισπαστικόν) ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου.

Schol. in Aesch. *sept.* 78-150b (II 2, p. 50. 31 sq. Smith) + τὸ νε′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον.

Schol. in Aesch. *sept.* 321-332b (II 2, p. 152. 3 sqq. Smith) + τὸ γ′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου καὶ διιάμβου· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐκ διτροχαίου καὶ διιάμβου σύγκειται διὰ τὴν ἀδιάφορον ... (p. 153. 6) τὸ η´ ὅμοιον τῷ γ´.

Schol. in Aesch. *sept.* 915-921d (II 2, p. 381. 14 sq. Smith) τὸ β′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 926-931b (p. 384. 15 Smith) + τὸ β′ ὅμοιον (*scil.* ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον) ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου.

Schol. Byz. in Soph. *Oed. tyr.* 200 (p. 271. 28 sqq. Longo) τὸ νθ´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου γ´.

Schol. Byz. in Soph. *Oed. tyr.* 1190 (p. 279. 21 sqq. Longo) τὸ δ´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον γλυκώνειον ἐξ ἐπιτρίτου δ´ἀντὶ ἀντισπάστου, καὶ ἰαμβικῆς συζυγίας … τὸ ζ´ ἀντισπαστικὸν καθαρὸν ὅμοιον τῷ δ´.

Schol. Byz. in Soph. *Oed. tyr.* 1337 (p. 283. 7 sqq. Longo) τὸ ζ´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ διιάμβου.

Schol. Tricl. in Eur. *Hec.* 466-474a (p. 26 de Faveri) τὸ γ´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον γλυκώνειον καλούμενον ἐξ ἐπιτρίτου δ´ καὶ ἰαμβικῆς συζυγίας ἤτοι διιάμβου.

Schol. Tricl. in Eur. *Phoen*. 103-105a (p. 88 de Faveri) τὸ β´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ διιάμβου γλυκώνειον.

Schol. Tricl. in Eur. *Phoen*. 202-238a (p. 94 de Faveri) τὸ α′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου πεντασυλλάβου, διαλελυμένης τῆς πρώτης μακρᾶς εἰς δύο βραχείας, καὶ διιάμβου· εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δ´ καὶ τρίτου, ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος, καὶ συλλαβῆς … (p. 95) τὸ ις′ ὅμοιον τῷ α′ ... τὸ κ′ ὅμοιον τῷ α′ ... τὸ κα′ ὅμοιον κατὰ πάντα … τὸ κε′ ὅμοιον τῷ α′. ἔχει δὲ καὶ τὸν διίαμβον πεντασύλλαβον.

Schol. Tricl. in Eur. *Phoen*. 202-238a (p. 94 de Faveri) τὸ ιγ′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου καὶ διιάμβου.

Schol. Tricl. in Eur. *Phoen*. 301-354a (p. 99 de Faveri) τὸ ιθ′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου.

Schol. Tricl. in Eur. *Phoen*. 1335-1351 (p. 116 de Faveri) τὸ α´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου ἑξασυλλάβου καὶ διιάμβου διὰ τὴν ἀδιάφορον.

Schol. Tricl. in Eur. *Phoen*. 1508-1538a (p. 121 de Faveri) τὸ λγ´ ὅμοιον δίμετρον (*scil.* ἀντισπαστικόν) ἀκατάληκτον γλυκώνειον ἐξ ἀντισπάστου καὶ διιάμβου.

Schol. in Aristoph. *av*. 676b. 3 sqq. (p. 107 Holwerda) Tr τὸ γ′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται, ὡς εἴρηται ἐν τῇ παραβάσει τῇ ἐν τῷ δράματι τῶν Νεφελῶν, γλυκώνειον … τὸ ς′, τὸ ζ′ καὶ τὸ η′ ὅμοια τῷ γ′.

Schol. in Aristoph. *av*. 863a. 4 (p. 135 Holwerda) Tr τὸ δ′ ὅμοιον δίμετρον (*scil.* ἀντισπαστικόν) ἀκατάληκτον.

Schol. in Aristoph. *eq*. 551b (p. 139. 9 sq. Jones-Wilson) vet τὰ δὲ λοιπὰ τέτταρα ἀντισπαστικὰ δίμετρα, τρία μὲν γλυκωνεῖα, τὸ τελευταῖον δὲ φερεκράτειον.

Schol. in Aristoph. *eq*. 973b (p. 222. 25 sqq. Jones-Wilson) Tr ἥδιστον φάος ἡμέρας] κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ ἐκ κώλων ἀντισπαστικῶν ἐπιμεμιγμένων ἐπιτρίτοις, διτροχαίοις, διιάμβοις, χοριάμβοις καὶ βακχείοις κδ′, τετρακώλους τὰς περιόδους ἔχουσα. εἰσὶ δὲ τὰ μὲν τρία ἑκάστης περιόδου κῶλα δίμετρα ἀκατάληκτα, ἃ καλεῖται γλυκωνεῖα, ὡς εἴρηται, διὰ τὸ ἀντὶ τοῦ ἀντισπάστου ὡς ἐπὶ τὸ πλεῖστον ἐπίτριτον ἔχειν τέταρτον ἐν τῇ πρώτῃ χώρᾳ, τὴν δὲ ἑξῆς ὡς ἐπὶ τὸ πλεῖστον ἐκ διιάμβου ἢ διτροχαίου.

Schol. rec. in Aristoph. *nub*. 563c. 16 sqq. (p. 89 Koster) Tr[1] τὸ ιβ′· (v. 573)

γῆς πέδον μέγας ἐν θεοῖς

ἀντισπαστικόν, τὸ καλούμενον γλυκώνειον, δίμετρον ἀκατάληκτον, ἐκ διτροχαίου – ⏑ – ⏑ καὶ διιάμβου· καλεῖται δὲ οὕτως διὰ <τὸ> τὸν ἀντίσπαστον μὴ ἔχειν καθαρόν, ἀλλὰ τέταρτον ἐ[πίτριτον καὶ] χώρας ἰαμβικὰς ἤγουν διίαμβον.

Schol. rec. in Aristoph. *nub*. 563d. 14 sqq. (p. 90 Koster) Tr[2] τὸ ια′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται γλυκώνειον, ὡςἩφαιστίων φησίν (p. 32. 13)· ἔχει δὲ τὸν α′ πόδα ἀντίσπαστον ἢ διτρόχαιον, τὸν δὲ β′ διίαμβον.

Schol. rec. anon. in Aristoph. *nub*. 563a. 9 sq. (p. 315 Koster) τὸ ιβ´ ἀντισπαστικὸν δίμετρον τὸ καλούμενον γλυκώνειον, ἐκ διτροχαίου καὶ διιάμβου.

Schol. rec. anon. in Aristoph. *nub*. 949a. 6 sq. (p. 376 Koster) τὸ ς´ δίμετρον (*scil.* ἀντισπαστικὸν ἀκατάληκτον) ἐξ ἀντισπάστου καὶ διιάμβου.

Schol. in Aristoph. *pac*. 1127b. α 8 sqq. (p. 162 Holwerda) Tr τὸ ς´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου, ὃ καλεῖται γλυκώνειον.

Schol. in Aristoph. *pac*. 1127b. β 7 sq. (p. 162 Holwerda) Ùe τὸ ς´ ἀντισπαστικὸν (*scil.* δίμετρον ἀκατάληκτον) γλυκώνειον.

Schol. rec. in Aristoph. *ran*. 1251-1260c. 4 sq. (p. 207 Chantry) τὸ α′ δίμετρος (*scil.* ἀντισπαστικός) ἀκατάληκτος ἐκ πεντασυλλάβου ἀντισπάστου, ὃ καλεῖται γλυκώνειον.

Schol. rec. in Aristoph. *ran*. 1251-1260c. 5 sq. (p. 207 Chantry) τὸ β′, τὸ γ′, τὸ δ′, τὸ ε′, τὸ ς′ καὶ τὸ ζ′ (v. 1252-1257) ὅμοια δίμετρα (*scil.* ἀντισπαστικά) ἀκατάληκτα.

Schol. rec. in Aristoph. *ran*. 1251-1260c. 8 sqq. (p. 208 Chantry) τὸ β′ (v. 1252) ἐκ παιῶνος (*immo* ἐπιτρίτου) τετάρτου καὶ διιάμβου, ὅμοιον (*scil.* ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον) ... τὸ δ´ (v. 1254) ἐκ διτροχαίου καὶ ἐπιτρίτου τρίτου ἀκατάληκτον ... τὸ ε´ (v. 1255) ὅμοιον τῷ β´ ... τὸ ζ´ (v. 1257) ὅμοιον τῷ β´ ... τὸ θ´ (v. 1259) ὅμοιον τῷ β´ Ald.

Schol. rec. in Aristoph. *ran*. 1309-1324b. 6 (p. 219 Chantry) τὸ γ´ (v. 1311) ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ... τὸ ιγ´ (v. 1320) ὅμοιον τῷ γ´ (v. 1311).

Schol. rec. in Aristoph. *ran*. 1309-1324b. 14 sq. (p. 219 Chantry) τὸ ιε´ (v. 1322) ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, τοῦ πρώτου ποδὸς πεντασυλλάβου.

Schol. rec. in Aristoph. *ran*. 1309-1324b. 15 sqq. (p. 219 Chantry) τὸ ις´ (v. 1323) ὅμοιον (*scil.* ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον), τοῦ δευτέρου ποδὸς πεντασυλλάβου ... τὸ ιζ´, τὸ (v. 1324) ‘τί δαὶ τοῦτον ὁρᾷς; ὁρῷ᾽ ὅμοιον.

Schol. rec. in Aristoph. *ran*. 1309-1324c. 13 sq. (p. 220 Chantry) τὸ ις´ (v. 1324) δίμετρον ὅμοιον (*scil.* ἀντισπαστικόν), ἐξ ἀντισπάστου καὶ διιάμβου.

Schol. rec. in Aristoph. *ran*. 1325-1330b. 3 sq. (p. 222 Chantry) κῶλα ἀντισπαστικὰ δ´ (v. 1325-1328), ὧν τὰ τρία δίμετρα ἀκατάληκτα.

Schol. A in Hephaest. 163. 18 sqq. καὶ ἐπὶ τῶν γλυκωνείων] τὸ καθαρὸν γλυκώνειον ἀντισπαστικόν ἐστι δίμετρον ἀκατάληκτον, ἔχον ἰαμβικὴν τὴν δευτέραν συζυγίαν, οἷον· (mel. adesp. 111 [PMG 1029]. 1 Page)

κάπρος ἡνίχ᾽ ὁ μαινόλης,

Sacerd. GL VI 537. 20 sqq. de dimetro antispastico acatalecto glyconio. antispasticum acatalectum dimetrum glyconium fit spondeo <et> duobus trisyllabis dactylo et amphimacro (dactylo et amphimacro del. Keil, sed cf. Morelli 2000, p. 95), ut: (mel. adesp. 111 [PMG 1029]. 1 Page)

κάπρος ἡνίχ᾽ ὁ μαινόλης,

(Hor. *carm*. I 3. 1)

sic te diva potens Cypri.

hoc differt a glyconio dactylico, quod illud, sicut ante tractavi, spondeo constat et duobus dactylis, hoc vero spondeo et <duobus> trisyllabis quibuslibet. potest tamen et spondeo et choriambo percussum facere metrum asclepiadeum, sicut ante docui:

sic te diva potens Cypri.

×× ⏖ ⏑ ⏑ ⏖ ⏖ ⏓

**3.** Trich. 389. 15 sqq. δίμετρον δὲ ἀκατάληκτόν ἐστιν οἷον τό·

ἐν ὄρφναις μὲν ἀφεγγέσσι.

τοιαῦτα δέ εἰσιν, ὅσον κατὰ τὸ δίμετρον ἀκατάληκτον καὶ τὰ ἰδίᾳ ἡμῖν τεθέντα εἰς παράδειγμα τῶν συμμίκτων ἀναπαίστων. ὀνομάζονται δὲ τὰ τοιαῦτα δίμετρα, ὡς καὶ ἀνωτέρω ἔφαμεν, γλυκώνειά τε καὶ ἀνακρεόντεια.

Schol. rec. in Pind. *Pyth*. 11 (p. 176. 15 sqq. Irigoin) τὸ ς΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐκ τροχαικῆς συζυγίας (ἔν τισι δὲ καὶ εἰς πεντασύλλαβον διαλελυμένης) καὶ ἀντισπάστου ἢ ἐπιτρίτου.

Schol. Byz. in Soph. *Oed. tyr.* 175 (p. 270. 27 sqq. Longo) τὸ λη΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἔχον τὸν μὲν πρῶτον πόδα καθαρὸν ἀντίσπαστον, τὸν δὲ β΄ πεντασύλλαβον, διαλελυμένης τῆς πρώτης μακρᾶς.

Schol. anon. in Eur. *Hec*. 154-215 (p. 1. 20 sqq. Smith) τὸ ε΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου δ΄ καὶ ἀντισπάστου.

Schol. Tricl. in Eur. *Phoen*. 109-111a (p. 88 de Faveri) τὸ α΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον γλυκώνειον ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου πρώτου.

Schol. Tricl. in Eur. *Phoen*. 291-300 (p. 98 de Faveri) τὸ ς΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐκ δύο ἀντισπάστων τοῦ πρώτου καθαροῦ τοῦ δὲ β΄ ἐξαβράχεος.

Schol. rec. in Aristoph. *ran*. 323-339. 2 sqq. (p. 61 Chantry) τὸ α′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐπιμεμιγμένον ἐπιτρίτῳ πρώτῳ, ὃ καλεῖται γλυκώνειον, τὸν ἐπίτριτον ἔχον ἀντὶ διιάμβου.

Schol. rec. in Aristoph. *ran*. 323-339. 9 sq. (p. 61 Chantry) τὸ ζ′ (v. 329) ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον.

Schol. rec. in Aristoph. *ran*. 340-353. 1 sq. (p. 61 Chantry) τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται γλυκώνειον.

Schol. rec. in Aristoph. *ran*. 340-353b. 2 sq. (p. 66 Chantry) τὸ α′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται γλυκώνειον.

Schol. rec. in Aristoph. *ran*. 1346-1355a. 14 sqq. (p. 228 Chantry) τὸ λδ′ (v. 1353) ‘ἐμοὶ δ’ ἄχε’ ἄχεα κατέλιπεν’ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστων δύο, τοῦ πρώτου πεντασυλλάβου, τοῦ δὲ δευτέρου ἑξασυλλάβου.

×× ⏖ ⏑ – ⏑ – ⏓

**4.** Schol. rec. in Pind. *Ol*. 1 (p. 48. 1 sqq. Abel) τὸ α΄ παιωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος β΄ καὶ ἰαμβικῆς συζυγίας καὶ συλλαβῆς· ἐγὼ δ’ ἀντισπαστικὸν τοῦτό φημι δίμετρον ἀκατάληκτον τοῦ α΄ ποδὸς ἀντισπάστου πεντασυλλάβου, τοῦ δὲ β΄ ἐπιτρίτου β΄.

Schol. in Aesch. *Pers*. 568 (p. 52. 23 sqq. Massa Positano) + τὸ η′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ὃ καλεῖται γλυκώνειον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου β′· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον διτρόχαιον ἔχει ἀντὶ ἐπιτρίτου.

Schol. in Aesch. *sept*. 926-931b (II 2, p. 384. 14 sq. Smith) + τὸ α′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου δ′ καὶ διτροχαίου.

Schol. in Aesch. *sept*. 951-960c (II 2, p. 389. 32 sq. Smith) + τὸ γ′ ὅμοιον τῷ

α′ (*scil.* τῷ ἀντισπαστικῷ διμέτρῳ ἀκαταλήκτῳ) ἐξ ἀντισπάστου καὶ διτροχαίου ὃ καλεῖται γλυκώνειον.

Schol. Byz. in Soph. *Oed. tyr.* 865 (p. 277. 2 sqq. Longo) τὸ ε´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ τροχαικῆς συζυγίας ἢ ἐπιτρίτου ὡς συγγενοῦς.

Schol. Byz. in Soph. *Oed. tyr.* 1220 (p. 281. 7 sq. Longo) τὸ λε´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου β´.

Schol. rec. anon. in Aristoph. *nub.* 1444a. 2 (p. 457 Koster) τὸ β´ ἀντισπαστικὸν δίμετρον (*scil.* ἀκατάληκτον) ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου β´.

⏑ ⏖ – ⏑ – ⏑ ⏑ ⏑ –

**5.** Schol. vet. in Pind. *Ol.* 1 (p. 1. 17 sq. Tessier) τὸ ιε´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἀπὸ δακτύλου τῆς ἰαμβικῆς ἀρξαμένης ἑπτασήμου.

Schol. rec. in Pind. *Ol.* 1 (p. 47. 8 sqq. Abel) τὸ ιε´ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ παίωνος α´ καὶ συλλαβῆς. ἔν τισι δὲ τῶν κώλων καὶ πεντασύλλαβός ἐστιν ὁ ἀντίσπαστος. ἐμοὶ δὲ δίμετρον δοκεῖ ἀκατάληκτον ἔχον καὶ τὸν β´ πόδα ἐπίτριτον πεντασύλλαβον.

Schol. rec. in Aristoph. *ran.* 1356-1363c. 7 sq. (p. 230 Chantry) τὸ ζ´ (v. 1359 sq.) ‘ἔχουσ᾽ ἐλθέτω διὰ δόμων᾽ ὅμοιον δίμετρον (*scil.* ἀντισπαστικόν) ἀκατάληκτον, τοῦ δευτέρου ποδὸς πεντασυλλάβου.

× – ⏑ –  ⏑ – – ⏓

**6.** Schol. in Aesch. *sept.* 452-456d (II 2, p. 208. 10 sqq. Smith) + ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχή· (v. 417)

τὸν ἁμόν νυν ἀντίπαλον.

καὶ αὕτη γὰρ κώλων ἐστὶν ἰσομέτρων ε′ … (14 sq.) τὸ δὲ δ′ (*scil.* τὸ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον) τὸν δεύτερον πόδα ἀντὶ διιάμβου ἐπίτριτον πρῶτον.

Schol. in Aristoph. *av.* 407. 2 sqq. (p. 70 Holwerda) Tr τὸ δ′ τὸ ε′ τὸ ϛ′ καὶ τὸ η′ ἀντισπαστικὰ δίμετρα ἀκατάληκτα ἐπιμεμιγμένα διιάμβοις καὶ σπονδείοις καὶ ἐπιτρίτοις.

Schol. in Aristoph. *ran.* 1284-1295b. 18 (p. 214 Chantry) ιβ′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐπιμεμιγμένον διτροχαίῳ (?).

– – – ⏑ ⏑ – – ⏑

**7.** Schol. rec. in Aristoph. *ran.* 1356-1363a. 1 sqq. (p. 229 Chantry) τὸ λζ′ (v. 1356) ‘ἀλλ᾽ ὦ Κρῆτες,᾽Ἴδης τέκνα᾽ δίμετρον ἀκατάληκτον ἀντισπαστικόν, ἐξ ἐπιτρίτου τετάρτου καὶ ἀντισπάστου.

Schol. rec. in Aristoph. *ran.* 1356-1363c. 1 sq. (p. 230 Chantry) τὸ α′ (v. 1356) ‘ἀλλ᾽ ὦ Κρῆτες <Ἴδης τέκνα>᾽ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον.

⏑ – ⏖ – × – ⏑ –

**8.** Schol. in Aesch. *Prom.* 561 (p. 45 Smyth) τὸ κθ′ ὅμοιον δίμετρον (*scil.* ἀντισπαστικόν) ἀκατάληκτον, ἐξ ἐπιτρίτου πρώτου καὶ διιάμβου.

Schol. in Aesch. *Eum.* 141 (I, p. 90. 13 sqq. Smith) + ὁ παρὼν χορὸς συνέ-

στηκεν ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σποράδην κειμένων ια′, κώλων δὲ ἀντισπαστικῶν μονομέτρων καὶ διμέτρων καὶ τριμέτρων καταληκτικῶν <καὶ> ἀκαταλήκτων καὶ βραχυκαταλήκτων κθ′, ὧν τελευταῖον· (v. 178)

μιάστορ’ ἐκείνου πάσσεται.

× ⏑⏑ ⏑ – × ⏑⏑ ⏑ –

**9.** Schol. in Aesch. *Pers.* 280 (p. 44. 9 sq. Massa Positano) + τὸ β′ ὅμοιον κῶλον δίμετρον (*scil.* ἀντισπαστικόν) ἀκατάληκτον, ἐκ διιάμβου καὶ ἐπιτρίτου τρίτου κατὰ συνίζησιν.

Schol. in Aesch. *Pers.* 280 (p. 158 Massa Positano) + τὸ β´ καὶ γ´ δίμετρα (*scil.* ἀντισπαστικά) ἀκατάληκτα.

Schol. in Aesch. *sept.* 417-421d (II 2, p. 196. 4 sq. Smith) + τὸ δ′ ὅμοιον δίμετρον (*scil.* ἀντισπαστικόν) ἀκατάληκτον ἐκ διιάμβων καθαρῶν δύο.

Schol. Byz. in Soph. *Oed. tyr.* 1329 (p. 282. 15 sqq. Longo) τὸ β´ ὅμοιον δίμετρον (*scil.* ἀντισπαστικόν) ἀκατάληκτον ἐκ διιάμβων πεντασυλλάβων.

Schol. rec. in Aristoph. *ran.* 394-397a. 5 sqq. (p. 77 Chantry) τὸ γ′ (v. 396) ‘ᾠδαῖσι τὸν ξυνέμπορον’ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου τρίτου καὶ διιάμβου διὰ τὴν ἀδιάφορον.

Schol. rec. in Aristoph. *ran.* 398-415a. 5 sq. (p. 78 Chantry) τὸ ζ′ (v. 400) ‘πρὸς τὴν θεὸν καὶ δεῖξον ὡς’ δίμετρον (*scil.* ἀντισπαστικόν) ἀκατάληκτον, ἐξ ἐπιτρίτων τρίτων δύο.

Schol. rec. in Aristoph. *ran.* 398-415a. 20 sq. (p. 78 Chantry) τὸ ιζ′ (v. 411) ‘συμπαιστρίας, χιτωνίου’ δίμετρον (*scil.* ἀντισπαστικόν) ἀκατάληκτον, ἐξ ἐπιτρίτου τρίτου καὶ διιάμβου.

Schol. rec. in Aristoph. *ran.* 1356-1363a. 6 sq. (p. 229 Chantry) τὸ μ′ (v. 1358) ‘κυκλούμενοι τὴν οἰκίαν’ δίμετρον (*scil.* ἀντισπαστικόν) ἀκατάληκτον, ἐκ διιάμβου καὶ ἐπιτρίτου τρίτου.

– ⏑ – × ⏑ – – –

**10.** Schol. Byz. in Soph. *Oed. tyr.* 1090 (p. 278. 24 sqq. Longo) τὸ ζ´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτων δύο συγκείμενον, δευτέρου τε καὶ πρώτου· οἰκεῖοι γὰρ τῷ μέτρῳ.

Schol. in Aristoph. *av.* 407. 2 sqq. (p. 70 Holwerda) Tr τὸ δ′ τὸ ε′ τὸ ϛ′ καὶ τὸ η′ ἀντισπαστικὰ δίμετρα ἀκατάληκτα ἐπιμεμιγμένα διιάμβοις καὶ σπονδείοις καὶ ἐπιτρίτοις.

Schol. in Aristoph. *ran.* 1284-1295b. 18 (p. 214 Chantry) ιβ′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐπιμεμιγμένον διτροχαίῳ (?).

⏑ ⏑⏑ ⏑⏑ – ⏑ – – –

**11.** Schol. in Aesch. *Ag.* 1140 (I, p. 87. 11 sq. Smith) + τὸ γ′ δίμετρον (*scil.* ἀντισπαστικόν) ἀκατάληκτον.

Schol. in Aesch. *sept.* 951-960c (II 2, p. 389. 31 Smith) + τὸ α′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτων πρώτων δύο.

Schol. Byz. in Soph. *Oed. tyr.* 1090 (p. 278. 26 sq. Longo) τὸ η´ ὅμοιον (*scil.* ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον) ἐξ ἐπιτρίτων πρώτων· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον διτροχαῖον ἔχει τὸν β´.

⏑ – – – – – – ⏑ – ⏑ ⏑ –

**12.** Schol. Byz. in Soph. *Oed. tyr.* 1090 (p. 278. 26 sq. Longo) τὸ η´ ὅμοιον (*scil.* ἀντιπαστικὸν δίμετρον ἀκατάληκτον) ἐξ ἐπιτρίτων πρώτων· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον διτροχαῖον (?) ἔχει τὸν β´.

Schol. Tricl. in Eur. *Or.* 316-331a (p. 51 de Faveri) τὸ ια´ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου α´, παίωνος α´ καὶ συλλαβῆς· εἰ δὲ βούλει ἀκατάληκτον τοῦ β´ ποδὸς διτροχαίου πεντασυλλάβου.

– – – – ⏑ – – –

**13.** Schol. in Aesch. *Pers.* 286 (p. 44. 23 sq. Massa Positano) + τὸ β´ κῶλον (*scil.* τὸ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον) τὸν α´ πόδα δισπονδεῖον, τὸν δὲ β´ ἐπίτριτον α´ ἢ ἀντίσπαστον.

– – – ⏑ – – – –

**14.** Schol. Tricl. in Eur. *Hec.* 1056-1084a (p. 40 de Faveri) τὸ ιθ´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου δ´ καὶ δισπονδείου· εἰ δὲ βούλει τροχαικὸν δίμετρον ἀκατάληκτον.

– – ⏑ – ⏑ ⏑ – –

**15.** Schol. rec. in Aristoph. *ran.* 340-353c. 5 sq. (p. 66 Chantry) τὸ ιδʹ (v. 344) δίμετρον (*scil.* ἀντισπαστικὸν ἀκατάληκτον), ἐξ ἐπιτρίτου τρίτου καὶ ἰωνικοῦ ἀπ᾽ ἐλάσσονος.

– ⏑ – ⏑ – ⏑ ⏑ –

**16.** Schol. rec. in Aristoph. *ran.* 416-430a. 19 sq. (p. 82 Chantry) τὸ ιαʹ (v. 429) ‘τουτονὶ τὸν Ἱπποβίνου’ δίμετρον ἀκατάληκτον, ἐκ διτροχαίου καὶ χοριάμβου, χοριαμβικὸν <ἢ> ἀντισπαστικόν.

⏑ ⏑ ⏑ – ⏑ – ⏑ –

**17.** Schol. rec. in Aristoph. *ran.* 1251-1260c. 8 sqq. (p. 208 Chantry) τὸ βʹ (v. 1252) ἐκ παιῶνος (?) τετάρτου καὶ διιάμβου, ὅμοιον (*scil.* ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον) … τὸ δʹ (v. 1254) ἐκ διτροχαίου καὶ ἐπιτρίτου τρίτου ἀκατάληκτον … τὸ εʹ (v. 1255) ὅμοιον τῷ βʹ … τὸ ζʹ (v. 1257) ὅμοιον τῷ βʹ … τὸ θʹ (v. 1259) ὅμοιον τῷ βʹ Ald. [*P.S.*]